the of-Tyndareus and Clytemnestra
ὡς ἐκ μεγάλων ἐβλαστήκασ'
how from great they-have-sprung
ἐπί τ' εὐμήκεις ἥκουσι τύχας. 595
to and long-reaching have-come fortunes
θεοί τοι κρείσσους οἵ τ' ὀλβοφόροι
gods surely mightier and the wealth-bringing
τοῖς οὐκ εὐδαίμοσι θνατῶν.
to-the not prosperous of-mortals
στῶμεν, Χαλκίδος ἔκγονα θρέμματα,
let-us-stand of-Chalcis offspring nurslings
τὴν βασίλειαν δεξώμεθ' ὄχων
the queen let-us-receive car

ἄπο μὴ σφαλερῶς ἐπὶ γαῖαν.
from not unsteadily onto ground
ἀγανῶς δὲ χεροῖν μαλακῇ γνώμῃ,
gently but with-hands with-gentle mind
μὴ ταρβήσῃ νεωστί μοι μολὸν
lest she-be-frightened newly to-me having-come
κλεινὸν τέκνον Ἀγαμέμνονος,
famous child of-Agamemnon
μηδὲ θόρυβον μηδ' ἔκπληξιν
nor uproar nor alarm
ταῖς Ἀργείαις
to-the Argive-women
ξεῖναι ξείναις παρέχωμεν.
strangers to-strangers let-us-cause
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ ὄρνιθα μὲν τόνδ' αἴσιον ποιούμεθα,
omen indeed this auspicious we-make
τὸ σόν τε χρηστὸν καὶ λόγων εὐφημίαν·
the your and kindness and of-words good-omen
ἐλπίδα δ' ἔχω τιν' ὡς ἐπ' ἐσθλοῖσιν γάμοις
hope and I-have some that to noble marriage
πάρειμι νυμφαγωγός. ἀλλ' ὀχημάτων
I-am-here bride-leader but from-cars
ἔξω πορεύεθ' ἃς φέρω φερνὰς κόρῃ,
out bring which I-bring dowry for-girl
καὶ πέμπετ' εἰς μέλαθρον εὐλαβούμενοι.
and send to house taking-care
σὺ δ', ὦ τέκνον μοι, λεῖπε πωλικοὺς ὄχους,
you and O child to-me leave colts' cars
ἁβρὸν τιθεῖσα κῶλον ἀσθενές θ' ἅμα.
delicate placing foot weak and at-once

ὑμεῖς δέ, νεάνιδές, νιν ἀγκάλαις ἔπι
you and girls her arms in
δέξασθε καὶ πορεύσατ' ἐξ ὀχημάτων.
receive and convey from cars
καί μοι χερός τις ἐνδότω στηρίγματα,
and for-me of-hand someone let-give supports
θάκους ἀπήνης ὡς ἂν ἐκλίπω καλῶς.
seats of-carriage that — I-may-leave gracefully
αἱ δ' εἰς τὸ πρόσθεν στῆτε πωλικῶν ζυγῶν,
you and to the front stand of-colts' yokes
φοβερὸν γὰρ ἀπαράμυθον ὄμμα πωλικόν·
fearful for unsoothable eye of-colt
καὶ παῖδα τόνδε τὸν Ἀγαμέμνονος γόνον
and child this the of-Agamemnon offspring
λάζυσθ', Ὀρέστην· ἔτι γάρ ἐστι νήπιος.
take Orestes still for he-is infant
τέκνον, καθεύδεις πωλικῷ δαμεὶς ὄχῳ;
child you-sleep by-colts' overcome by-car
ἔγειρ' ἀδελφῆς ἐφ' ὑμέναιον εὐτυχῶς·
wake of-sister for wedding happily
ἀνδρὸς γὰρ ἀγαθοῦ κῆδος αὐτὸς ἐσθλὸς ὢν
of-man for good kinship yourself noble being
λήψει, τὸ τῆς Νηρῇδος ἰσόθεον γένος.
you-will-get the of-the Nereid godlike race
ἑξῆς κάθησο δεῦρό μου ποδός, τέκνον,
next sit here of-my of-foot child
πρὸς μητέρ', Ἰφιγένεια, μακαρίαν δέ με
by mother Iphigenia blessed and me
ξέναισι ταῖσδε πλησία σταθεῖσα δός,
to-strangers these near standing make

καὶ δεῦρο δὴ πατέρα πρόσειπε σὸν φίλον.
and here indeed father greet your dear

ΙΦΙΓΕΝΕΙΑ ὦ μῆτερ, ὑποδραμοῦσά σ', ὀργισθῇς δὲ μή,
O mother having-run-ahead you be-angry and not

πρὸς στέρνα πατρὸς στέρνα τἀμὰ περιβαλῶ.
to breast of-father breast my I-will-clasp

ΚΛΥΤΑΙΜΗΣΤΡΑ ὦ σέβας ἐμοὶ μέγιστον, Ἀγαμέμνων ἄναξ,
O reverence to-me greatest Agamemnon lord

ἥκομεν, ἐφετμαῖς οὐκ ἀπιστοῦσαι σέθεν.
we-have-come by-commands not disobeying of-you

ΙΦΙΓΕΝΕΙΑ ἐγὼ δὲ βούλομαι τὰ σὰ στέρν', ὦ πάτερ,
I and wish the your breast O father

ὑποδραμοῦσα προσβαλεῖν διὰ χρόνου.
having-run-ahead to-throw-against after time

ποθῶ γὰρ ὄμμα δὴ σόν. ὀργισθῇς δὲ μή.
I-long for eye indeed your be-angry and not

ΚΛΥΤΑΙΜΗΣΤΡΑ ἀλλ', ὦ τέκνον, χρή·
but O child must

φιλοπάτωρ δ' ἀεί ποτ' εἶ
father-loving and always ever you-are

μάλιστα παίδων τῷδ' ὅσους ἐγὼ 'τεκον.
most of-children to-this-one as-many-as I bore

ΙΦΙΓΕΝΕΙΑ ὦ πάτερ, ἐσεῖδόν σ' ἀσμένη πολλῷ χρόνῳ.
O father I-have-seen you gladly in-much in-time

ΑΓΑΜΕΜΝΩΝ καὶ γὰρ πατὴρ σέ· τόδ' ἴσον ὑπὲρ ἀμφοῖν λέγεις.
and for father you this equal for both you-say

ΙΦΙΓΕΝΕΙΑ χαῖρ'· εὖ δέ μ' ἀγαγὼν πρὸς σ' ἐποίησας, πάτερ.
hail well and me having-brought to you you-did father

ΑΓΑΜΕΜΝΩΝ οὐκ οἶδ' ὅπως φῶ τοῦτο καὶ μὴ φῶ, τέκνον.
not I-know how I-may-say this and not I-may-say child

ΙΦΙΓΕΝΕΙΑ ἔα·

ha

ὡς οὐ βλέπεις ἔκηλον, ἄσμενός μ' ἰδών.

how not you-look calmly gladly me having-seen

ΑΓΑΜΕΜΝΩΝ πόλλ' ἀνδρὶ βασιλεῖ καὶ στρατηλάτῃ μέλει.

many-things to-man king and general are-a-care

ΙΦΙΓΕΝΕΙΑ παρ' ἐμοὶ γενοῦ νῦν, μὴ 'πὶ φροντίδας τρέπου.

beside me be now not to cares turn

ΑΓΑΜΕΜΝΩΝ ἀλλ' εἰμὶ παρὰ σοὶ νῦν ἅπας, κοὐκ ἄλλοθι.

but I-am beside you now wholly and-not elsewhere

ΙΦΙΓΕΝΕΙΑ μέθες νυν ὀφρὺν ὄμμα τ' ἔκτεινον φίλον.

let-go now brow eye and stretch dear

ΑΓΑΜΕΜΝΩΝ ἰδοὺ γέγηθά σ' ὡς γέγηθ' ὁρῶν, τέκνον.

see I-rejoice you as I-rejoice seeing child

ΙΦΙΓΕΝΕΙΑ κἄπειτα λείβεις δάκρυ' ἀπ' ὀμμάτων σέθεν;

and-then you-shed tears from eyes of-you

ΑΓΑΜΕΜΝΩΝ μακρὰ γὰρ ἡμῖν ἡ 'πιοῦσ' ἀπουσία.

long for for-us the coming absence

ΙΦΙΓΕΝΕΙΑ †οὐκ οἶδ' ὅ τι φής, οὐκ οἶδα,

(corrupt)-not I-know what — you-say not I-know

φίλτατ' ἐμοὶ πάτερ.

dearest to-me father

ΑΓΑΜΕΜΝΩΝ συνετὰ λέγουσα μᾶλλον εἰς οἰκτόν μ' ἄγεις.

intelligent-things saying more to pity me you-lead

ΙΦΙΓΕΝΕΙΑ ἀσύνετα νῦν ἐροῦμεν, εἰ σέ γ' εὐφρανῶ.

unintelligent-things now we-shall-say if you at-least I-shall-gladden

ΑΓΑΜΕΜΝΩΝ παπαῖ. τὸ σιγᾶν οὐ σθένω· σὲ δ' ᾔνεσα.

alas the to-be-silent not I-am-able you but I-praised

ΙΦΙΓΕΝΕΙΑ μέν', ὦ πάτερ, κατ' οἶκον ἐπὶ τέκνοις σέθεν.

stay O father at home with children of-you

ΑΓΑΜΕΜΝΩΝ θέλω γε· τὸ θέλειν δ' οὐκ ἔχων ἀλγύνομαι.
I-wish at-least the to-wish but not having I-am-pained

ΙΦΙΓΕΝΕΙΑ ὄλοιντο λόγχαι καὶ τὰ Μενέλεω κακά.
may-perish spears and the of-Menelaus evils

ΑΓΑΜΕΜΝΩΝ ἄλλους ὀλεῖ πρόσθ' ἁμὲ διολέσαντ' ἔχει.
others will-destroy before which-me having-destroyed hold

ΙΦΙΓΕΝΕΙΑ ὡς πολὺν ἀπῆσθα χρόνον ἐν Αὐλίδος μυχοῖς.
how long you-were-away time in of-Aulis recesses

ΑΓΑΜΕΜΝΩΝ καὶ νῦν γέ μ' ἴσχει
and now at-least me holds

δή τι μὴ στέλλειν στρατόν.
indeed something not to-send army

ΙΦΙΓΕΝΕΙΑ ποῦ τοὺς Φρύγας λέγουσιν ᾠκίσθαι, πάτερ;
where the Phrygians they-say to-have-been-settled father

ΑΓΑΜΕΜΝΩΝ οὗ μήποτ' οἰκεῖν ὤφελ' ὁ Πριάμου Πάρις.
where never to-dwell ought the of-Priam Paris

ΙΦΙΓΕΝΕΙΑ μακράν γ' ἀπαίρεις, ὦ πάτερ, λιπὼν ἐμέ;
far at-least you-depart O father having-left me

ΑΓΑΜΕΜΝΩΝ †εἰς ταὐτόν, ὦ θύγατερ, ἥκεις σῷ πατρί.†
(corrupt)-to the-same O daughter you-come your to-father(corrupt)

ΙΦΙΓΕΝΕΙΑ φεῦ·
alas

εἴθ' ἦν καλόν μοι σοί τ' ἄγειν σύμπλουν ἐμέ.
would-that was fine for-me for-you and to-take fellow-voyager me

ΑΓΑΜΕΜΝΩΝ ἔπεστι καὶ σοὶ πλοῦς, ἵνα μνήσει πατρός.
is-in-store also for-you voyage where you-will-remember father

ΙΦΙΓΕΝΕΙΑ σὺν μητρὶ πλεύσασ' ἢ μόνη πορεύσομαι;
with mother having-sailed or alone shall-I-travel

ΑΓΑΜΕΜΝΩΝ μόνη, μονωθεῖσ' ἀπὸ πατρὸς καὶ μητέρος.
alone bereft from father and mother

ΙΦΙΓΕΝΕΙΑ οὔ πού μ᾽ ἐς ἄλλα δώματ᾽ οἰκίζεις, πάτερ;
not surely me to other house you-settle father

ΑΓΑΜΕΜΝΩΝ ἔασον. οὐ χρὴ τοιάδ᾽ εἰδέναι κόρας.
let-be not must such-things to-know girls

ΙΦΙΓΕΝΕΙΑ σπεῦδ᾽ ἐκ Φρυγῶν μοι, θέμενος εὖ τἀκεῖ, πάτερ.
hasten from Phrygians for-me having-set well things-there father

ΑΓΑΜΕΜΝΩΝ θῦσαί με θυσίαν πρῶτα δεῖ τιν᾽ ἐνθάδε.
to-sacrifice me sacrifice first must some here

ΙΦΙΓΕΝΕΙΑ ἀλλὰ ξὺν ἱεροῖς χρὴ τό γ᾽ εὐσεβὲς σκοπεῖν.
but with rites must the at-least pious to-regard

ΑΓΑΜΕΜΝΩΝ εἴσει σύ· χερνίβων γὰρ ἑστήξει πέλας.
you-will-know you of-lustral-waters for you-will-stand near

ΙΦΙΓΕΝΕΙΑ στήσομεν ἄρ᾽ ἀμφὶ βωμόν, ὦ πάτερ, χορούς;
shall-we-set then around altar O father dances

ΑΓΑΜΕΜΝΩΝ ζηλῶ σὲ μᾶλλον ἢ ᾽μὲ τοῦ μηδὲν φρονεῖν·
I-envy you more than me of-the nothing to-understand

χώρει δὲ μελάθρων ἐντὸς ὀφθῆναι κόραις,
go and of-house within to-be-seen by-girls

πικρὸν φίλημα δοῦσα δεξιάν τ᾽ ἐμοί,
bitter kiss having-given right-hand and to-me

μέλλουσα δαρὸν πατρὸς ἀποικήσειν χρόνον.
being-about long from-father to-dwell-away time

ὦ στέρνα καὶ παρῇδες, ὦ ξανθαὶ κόμαι,
O breast and cheeks O golden hair

ὡς ἄχθος ὑμῖν ἐγένεθ᾽ ἡ Φρυγῶν πόλις
how burden to-you became the of-Phrygians city

Ἑλένη τε· παύω τοὺς λόγους· ταχεῖα γὰρ
Helen and I-stop the words swift for

νοτὶς διώκει μ᾽ ὀμμάτων ψαύσαντά σου.
moisture pursues me of-eyes having-touched you

ἴθ' εἰς μέλαθρα. σὲ δὲ παραιτοῦμαι τάδε,
go into house you but I-beg these-things
Λήδας γένεθλον, εἰ κατῳκτίσθην ἄγαν,
of-Leda offspring if I-was-moved-to-pity too-much
μέλλων Ἀχιλλεῖ θυγατέρ' ἐκδώσειν ἐμήν.
being-about to-Achilles daughter to-give-away my
ἀποστολαὶ γὰρ μακάριαι μέν, ἀλλ' ὅμως
sendings-away for blessed indeed but nevertheless
δάκνουσι τοὺς τεκόντας, ὅταν ἄλλοις δόμοις
bite the having-begotten when to-other house
παῖδας παραδιδῷ πολλὰ μοχθήσας πατήρ.
children hands-over many-things having-toiled father

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ οὐχ ὧδ' ἀσύνετός εἰμι, πείσεσθαι δέ με
not so unintelligent I-am to-feel but me
καὐτὴν δόκει τάδ', ὥστε μή σε νουθετεῖν,
myself think these-things so-that not you to-admonish
ὅταν σὺν ὑμεναίοισιν ἐξάγω κόρην·
when with wedding-songs I-lead-out girl
ἀλλ' ὁ νόμος αὐτὰ τῷ χρόνῳ συνισχανεῖ.
but the custom them with-the time will-ease
τοὔνομα μὲν οὖν παῖδ' οἶδ' ὅτῳ κατήνεσας,
the-name indeed then child I-know to-whom you-promised
γένους δὲ ποίου χὠπόθεν, μαθεῖν θέλω.
of-race but what-sort and-whence to-learn I-wish

ΑΓΑΜΕΜΝΩΝ Αἴγινα θυγάτηρ ἐγένετ' Ἀσωποῦ πατρός.
Aegina daughter was of-Asopus father

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ ταύτην δὲ θνητῶν ἢ θεῶν ἔζευξε τίς;
her and of-mortals or of-gods wedded who

ΑΓΑΜΕΜΝΩΝ Ζεύς· Αἰακὸν δ' ἔφυσεν, Οἰνώνης πρόμον.
Zeus Aeacus and begot of-Oenone lord

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ τοῦ δ' Αἰακοῦ παῖς τίς κατέσχε δώματα;
of-the and Aeacus child who held house

ΑΓΑΜΕΜΝΩΝ Πηλεύς· ὁ Πηλεὺς δ' ἔσχε Νηρέως κόρην.
Peleus the Peleus and had of-Nereus daughter

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ θεοῦ διδόντος, ἢ βίᾳ θεῶν λαβών;
god giving or by-force of-gods having-taken

ΑΓΑΜΕΜΝΩΝ Ζεὺς ἠγγύησε καὶ δίδωσ' ὁ κύριος.
Zeus betrothed and gives the guardian

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ γαμεῖ δὲ ποῦ νιν; ἦ κατ' οἶδμα πόντιον;
marries and where her — on swell of-sea

ΑΓΑΜΕΜΝΩΝ Χείρων ἵν' οἰκεῖ σεμνὰ Πηλίου βάθρα.
Chiron where dwells holy of-Pelion seats

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ οὗ φασι Κενταύρειον ᾠκίσθαι γένος;
where they-say Centaur to-have-been-settled race

ΑΓΑΜΕΜΝΩΝ ἐνταῦθ' ἔδαισαν Πηλέως γάμους θεοί.
there feasted of-Peleus marriage gods

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ Θέτις δ' ἔθρεψεν ἢ πατὴρ Ἀχιλλέα;
Thetis and reared or father Achilles

ΑΓΑΜΕΜΝΩΝ Χείρων, ἵν' ἤθη μὴ μάθοι κακῶν βροτῶν.
Chiron so-that ways not he-might-learn of-base mortals

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ φεῦ·
alas

σοφός γ' ὁ θρέψας χὠ διδοὺς σοφώτερος.
wise at-least the having-reared and-the giving wiser

ΑΓΑΜΕΜΝΩΝ τοιόσδε παιδὸς σῆς ἀνὴρ ἔσται πόσις.
such of-child your man will-be husband

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ οὐ μεμπτός. οἰκεῖ δ' ἄστυ ποῖον Ἑλλάδος;
not blameworthy dwells and city what-sort of-Hellas

ΑΓΑΜΕΜΝΩΝ Ἀπιδανὸν ἀμφὶ ποταμὸν ἐν Φθίας ὅροις.
Apidanus by river in of-Phthia boundaries

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ ἐκεῖσ᾽ ἀπάξεις σὴν ἐμήν τε παρθένον;
there you-will-take-away your mine and maiden

715 ΑΓΑΜΕΜΝΩΝ κείνῳ μελήσει ταῦτα τῷ κεκτημένῳ.
to-him will-be-a-care these-things to-the having-won

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ ἀλλ᾽ εὐτυχοίτην. τίνι δ᾽ ἐν ἡμέρᾳ γαμεῖ;
but may-they-both-prosper what and in day marries

ΑΓΑΜΕΜΝΩΝ ὅταν σελήνης εὐτυχὴς ἔλθῃ κύκλος.
when of-moon fortunate comes circle

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ προτέλεια δ᾽ ἤδη παιδὸς ἔσφαξας θεᾷ;
preliminaries and already of-child did-you-slaughter for-goddess

ΑΓΑΜΕΜΝΩΝ μέλλω· ᾽πὶ ταύτῃ καὶ καθέσταμεν τύχῃ.
I-am-about on this and we-are-set fortune

720 ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ κἄπειτα δαίσεις τοὺς γάμους ἐς ὕστερον;
and-then you-will-feast the marriage at later

ΑΓΑΜΕΜΝΩΝ θύσας γε θύμαθ᾽ ἁμὲ χρὴ θῦσαι θεοῖς.
having-sacrificed at-least sacrifices which-me must to-sacrifice to-gods

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ ἡμεῖς δὲ θοίνην ποῦ γυναιξὶ θήσομεν;
we and feast where for-women shall-set

ΑΓΑΜΕΜΝΩΝ ἐνθάδε παρ᾽ εὐπρύμνοισιν Ἀργείων πλάταις.
here by well-sterned of-Argives oars

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ καλῶς ἀναγκαίως τε· συνενέγκοι δ᾽ ὅμως.
well necessarily and may-it-turn-out but nevertheless

725 ΑΓΑΜΕΜΝΩΝ οἶσθ᾽ οὖν ὃ δρᾶσον, ὦ γύναι; πιθοῦ δέ μοι.
do-you-know then what do O woman obey and me

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ τί χρῆμα; πείθεσθαι γὰρ εἴθισμαι σέθεν.
what thing to-obey for I-am-accustomed you

ΑΓΑΜΕΜΝΩΝ ἡμεῖς μὲν ἐνθάδ᾽, οὗπέρ ἐσθ᾽ ὁ νυμφίος,
we indeed here where is the bridegroom

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ μητρὸς τί χωρὶς δράσεθ᾽, ἁμὲ δρᾶν χρεών;
of-mother what apart will-you-do which-me to-do is-right

ΑΓΑΜΕΜΝΩΝ ἐκδώσομεν σὴν παῖδα Δαναϊδῶν μέτα.
will-give-away your child the-Danaans with

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ ἡμᾶς δὲ ποῦ χρὴ τηνικαῦτα τυγχάνειν; 730
we and where must then to-be

ΑΓΑΜΕΜΝΩΝ χώρει πρὸς Ἄργος παρθένους τε τημέλει.
go to Argos maidens and take-care-of

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ λιποῦσα παῖδα; τίς δ' ἀνασχήσει φλόγα;
having-left child who and will-hold-up torch

ΑΓΑΜΕΜΝΩΝ ἐγὼ παρέξω φῶς ὃ νυμφίοις πρέπει.
I will-provide light which for-bridegrooms befits

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ †οὐχ ὁ νόμος οὗτος,
(corrupt)-not the custom this

σὺ δέ γε φαῦλ' ἡγεῖ τάδε.
you but at-least base-things think these-things

ΑΓΑΜΕΜΝΩΝ οὐ καλὸν ἐν ὄχλῳ σ' ἐξομιλεῖσθαι στρατοῦ. 735
not fine in crowd you to-mingle of-army

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ καλὸν τεκοῦσαν τἀμά μ' ἐκδοῦναι τέκνα.
fine having-borne mine me to-give-away children

ΑΓΑΜΕΜΝΩΝ καὶ τάς γ' ἐν οἴκῳ μὴ μόνας εἶναι κόρας.
and the at-least at home not alone to-be girls

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ ὀχυροῖσι παρθενῶσι φρουροῦνται καλῶς.
in-strong maidens'-rooms are-guarded well

ΑΓΑΜΕΜΝΩΝ πιθοῦ. ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ μὰ τὴν ἄνασσαν Ἀργείαν θεάν.
obey by the queen Argive goddess

ἐλθὼν σὺ τἄξω πρᾶσσε, τἀν δόμοις δ' ἐγώ, 740
having-gone you the-things-outside do the-things-in house and I

ἃ χρὴ παρεῖναι νυμφίοισι παρθένοις.
what must to-be-present for-bridal maidens

ΑΓΑΜΕΜΝΩΝ οἴμοι· μάτην ἦξ', ἐλπίδος δ' ἀπεσφάλην,
ah-me in-vain I-darted of-hope and I-was-foiled
ἐξ ὀμμάτων δάμαρτ' ἀποστεῖλαι θέλων.
from eyes wife to-send-away wishing
σοφίζομαι δὲ κἀπὶ τοῖσι φιλτάτοις
I-devise and and-against the dearest
745 τέχνας πορίζω, πανταχῇ νικώμενος.
arts I-contrive everywhere being-defeated
ὅμως δὲ σὺν Κάλχαντι τῷ θυηπόλῳ
nevertheless but with Calchas the priest
κοινῇ τὸ τῆς θεοῦ φίλον, ἐμοὶ δ' οὐκ εὐτυχές,
in-common the of-the goddess dear to-me but not fortunate
ἐξιστορήσων εἶμι, μόχθον Ἑλλάδος.
to-inquire-into I-go toil of-Hellas
χρὴ δ' ἐν δόμοισιν ἄνδρα τὸν σοφὸν τρέφειν
must and in house man the wise to-keep
750 γυναῖκα χρηστὴν κἀγαθήν, ἢ μὴ γαμεῖν.
wife good and-noble or not to-marry

The chorus sees the Greek fleet coming to the Simois and to Troy, where Cassandra tosses her hair in prophecy. Ares will encircle the city, cut off the heads of the Trojans, and make their women weep; and the Lydian and Phrygian women at their looms will curse Helen, the daughter of Zeus, if the story that Leda bore her to Zeus in the form of a swan is true.

ΧΟΡΟΣ ἥξει δὴ Σιμόεντα καὶ
will-come indeed to-Simois and
δίνας ἀργυροειδεῖς
eddies silvery
ἄγυρις Ἑλλάνων στρατιᾶς
gathering of-Greeks of-army
ἀνά τε ναυσὶν καὶ σὺν ὅπλοις
on both ships and with arms
Ἴλιον εἰς τὸ Τροίας
Ilium to the of-Troy
Φοιβήιον δάπεδον,
Phoebean ground
τὰν Κασάνδραν ἵν' ἀκούω
the Cassandra where I-hear
ῥίπτειν ξανθοὺς πλοκάμους
to-toss golden locks
χλωροκόμῳ στεφάνῳ δάφνας
with-green-leaved wreath of-laurel
κοσμηθεῖσαν, ὅταν θεοῦ
adorned when of-god
μαντόσυνοι πνεύσωσ' ἀνάγκαι.
prophetic breathe necessities

στάσονται δ' ἐπὶ περγάμων
will-stand and on citadel
Τροίας ἀμφί τε τείχη
of-Troy around and walls
Τρῶες, ὅταν χάλκασπις Ἄρης
Trojans when bronze-shielded Ares
πόντιος εὐπρῴροισι πλάταις
of-the-sea with-fair-prowed oars
εἰρεσίᾳ πελάζῃ
with-rowing approaches
Σιμουντίοις ὀχετοῖς,
to-Simoeisian channels
τὰν τῶν ἐν αἰθέρι δισσῶν
the of-the in air twin
Διοσκούρων Ἑλέναν
Dioscuri Helen
ἐκ Πριάμου κομίσαι θέλων
from Priam to-bring-back wishing
εἰς γᾶν Ἑλλάδα δοριπόνοις
to land Greek with-spear-toiling
ἀσπίσι καὶ λόγχαις Ἀχαιῶν.
with-shields and spears of-Achaeans
Πέργαμον δὲ Φρυγῶν πόλιν
Pergamum and of-Phrygians city
λαΐνους περὶ πύργους
stone around towers
κυκλώσας Ἄρει φονίῳ,
having-encircled with-Ares bloody
λαιμοτόμους κεφαλὰς
throat-cut heads

σπάσας, πόλισμα Τροίας
having-torn-down citadel of-Troy
πέρσας κατ᾽ ἄκρας πόλιν,
having-sacked from top city
θήσει κόρας πολυκλαύστους
will-make girls much-lamented
δάμαρτά τε Πριάμου.
wife and of-Priam
ἁ δὲ Διὸς Ἑλένα κόρα
the and of-Zeus Helen daughter
πολύκλαυτος ἐσεῖται
much-lamented will-be
πόσιν προλιποῦσα. μήτ᾽ ἐμοὶ
husband having-left neither for-me
μήτ᾽ ἐμοῖσι τέκνων τέκνοις
nor for-my of-children for-children
ἐλπὶς ἅδε ποτ᾽ ἔλθοι,
hope this ever may-come
οἵαν αἱ πολύχρυσοι
such-as the much-golden
Λυδαὶ καὶ Φρυγῶν ἄλοχοι
Lydian and of-Phrygians wives
στήσουσι παρ᾽ ἱστοῖς
will-set by looms
μυθεῦσαι τάδ᾽ ἐς ἀλλήλας·
telling these-things to one-another
τίς ἄρα μ᾽ εὐπλοκάμου κόμας
who then me of-fair-tressed hair
ῥῦμα δακρυόεν τανύσας
dragging tearful having-drawn

πατρίδος ὀλλυμένας ἀπολωτιεῖ;
of-fatherland perishing will-pluck-away
διὰ σέ, τὰν κύκνου δολιχαύχενος γόνον,
through you the of-swan long-necked offspring
εἰ δὴ φάτις ἔτυμος,
if indeed report true
ὡς ἔτεκεν Λήδα σ'
that bore Leda you
ὄρνιθι πταμένῳ
to-bird flying
Διὸς ὅτ' ἀλλάχθη δέμας,
of-Zeus when was-changed body
εἴτ' ἐν δέλτοις Πιερίσιν
or in tablets Pierian
μῦθοι τάδ' ἐς ἀνθρώπους
stories these-things to men
ἤνεγκαν παρὰ καιρὸν ἄλλως.
brought out-of season vainly

VII · ACHILLES LEARNS THE TRUTH

Achilles comes to Agamemnon's tent, saying the army is impatient to sail. Clytemnestra greets him as her daughter's bridegroom, but he knows of no marriage, and both are bewildered. The old man reveals the truth: Agamemnon means to kill Iphigenia, and the marriage was a pretext to bring her. Clytemnestra falls at Achilles' knees and begs him to save her daughter. Achilles, angered that his name was used, swears by Nereus that Agamemnon will not touch her. He advises that they first try to persuade the father, and promises to defend her if that fails.

ΑΧΙΛΛΕΥΣ ποῦ τῶν Ἀχαιῶν ἐνθάδ' ὁ στρατηλάτης;
where of-the Achaeans here the general
τίς ἂν φράσειε προσπόλων τὸν Πηλέως
who — would-tell of-attendants the of-Peleus
ζητοῦντά νιν παῖδ' ἐν πύλαις Ἀχιλλέα;
seeking him child at gates Achilles
οὐκ ἐξ ἴσου γὰρ μένομεν Εὐρίπου πέλας.
not on equal for we-wait Euripus near
οἱ μὲν γὰρ ἡμῶν ὄντες ἄζυγες γάμων
some indeed for of-us being unyoked of-marriage
οἴκους ἐρήμους ἐκλιπόντες ἐνθάδε
houses empty having-left here
θάσσουσ' ἐπ' ἀκταῖς, οἱ δ' ἔχοντες εὔνιδας
sit on shores others and having wives
καὶ παῖδας· οὕτω δεινὸς ἐμπέπτωκ' ἔρως
and children so terrible has-fallen desire
τῆσδε στρατείας Ἑλλάδ' οὐκ ἄνευ θεῶν.
of-this expedition on-Hellas not without gods
τοὐμὸν μὲν οὖν δίκαιον ἐμὲ λέγειν χρεών,
my indeed then just me to-say must

ἄλλος δ' ὁ χρῄζων αὐτὸς ὑπὲρ αὐτοῦ φράσει.
other and the needing himself for himself will-tell

γῆν γὰρ λιπὼν Φάρσαλον ἠδὲ Πηλέα
land for having-left Pharsalus and Peleus

μένω 'πὶ λεπταῖς ταισίδ' Εὐρίπου πνοαῖς,
I-wait for light these of-Euripus breezes

Μυρμιδόνας ἴσχων· οἱ δ' ἀεὶ προσκείμενοι
Myrmidons holding-back they and always pressing

λέγουσ'· Ἀχιλλεῦ, τί μένομεν; πόσον χρόνον
say Achilles why do-we-wait how-much time

ἔτ' ἐκμετρῆσαι χρὴ πρὸς Ἰλίου στόλον;
still to-measure-out must toward of-Ilium expedition

δρᾶ δ', εἴ τι δράσεις, ἢ ἄπαγ' οἴκαδε στρατόν,
act and if anything you-will-do or lead-away home army

τὰ τῶν Ἀτρειδῶν μὴ μένων μελλήματα.
the of-the Atreids not waiting-for delays

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ ὦ παῖ θεᾶς Νηρῇδος, ἔνδοθεν λόγων
O child of-goddess Nereid from-within words

τῶν σῶν ἀκούσασ' ἐξέβην πρὸ δωμάτων.
the your having-heard I-came-out before house

ΑΧΙΛΛΕΥΣ ὦ πότνι' αἰδώς, τήνδε τίνα λεύσσω ποτὲ
O lady modesty this who do-I-see ever

γυναῖκα, μορφὴν εὐπρεπῆ κεκτημένην;
woman form comely having

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ οὐ θαῦμά σ' ἡμᾶς ἀγνοεῖν, οἷς μὴ πάρος
not wonder you us not-to-know whom not before

προσῆκες· αἰνῶ δ' ὅτι σέβεις τὸ σωφρονεῖν.
you-knew I-praise and that you-revere the to-be-modest

ΑΧΙΛΛΕΥΣ τίς δ' εἶ; τί δ' ἦλθες Δαναΐδῶν εἰς σύλλογον,
who and are-you why and did-you-come of-Danaans to assembly
γυνὴ πρὸς ἄνδρας ἀσπίσιν πεφραγμένους;
woman to men with-shields fenced
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ Λήδας μέν εἰμι παῖς, Κλυταιμήστρα δέ μοι
of-Leda indeed I-am child Clytemnestra and to-me
ὄνομα, πόσις δέ μοὐστὶν Ἀγαμέμνων ἄναξ.
name husband and to-me-is Agamemnon lord
ΑΧΙΛΛΕΥΣ καλῶς ἔλεξας ἐν βραχεῖ τὰ καίρια.
well you-said in brief the timely-things
αἰσχρὸν δέ μοι γυναιξὶ συμβάλλειν λόγους.
shameful and for-me with-women to-exchange words
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ μεῖνον· τί φεύγεις; δεξιάν τ' ἐμῇ χερὶ
stay why do-you-flee right-hand and with-my hand
σύναψον, ἀρχὴν μακαρίων νυμφευμάτων.
join beginning of-blessed marriage
ΑΧΙΛΛΕΥΣ τί φής; ἐγώ σοι δεξιάν; αἰδοίμεθ' ἄν
what do-you-say I to-you right-hand would-feel-shame —
Ἀγαμέμνον', εἰ ψαύοιμεν ὧν μή μοι θέμις.
Agamemnon if we-should-touch what not for-me lawful
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ θέμις μάλιστα, τὴν ἐμὴν ἐπεὶ γαμεῖς
lawful most-of-all the my since you-marry
παῖδ', ὦ θεᾶς παῖ ποντίας Νηρηίδος.
child O of-the-goddess child of-the-sea Nereid
ΑΧΙΛΛΕΥΣ ποίους γάμους φής; ἀφασία μ' ἔχει, γύναι.
what-sort marriage do-you-say speechlessness me holds woman
εἰ μή τι παρανοοῦσα καινουργεῖς λόγον.
if not something being-deluded you-invent word

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ πᾶσιν τόδ᾽ ἐμπέφυκεν, αἰδεῖσθαι φίλους
to-all this is-natural to-feel-shame-before friends
καινοὺς ὁρῶσι καὶ γάμου μεμνημένοις.
new seeing and of-marriage mindful
ΑΧΙΛΛΕΥΣ οὐπώποτ᾽ ἐμνήστευσα παῖδα σήν, γύναι,
never-yet I-wooed child your woman
οὐδ᾽ ἐξ Ἀτρειδῶν ἦλθέ μοι λόγος γάμων.
nor from Atreids came to-me word of-marriage
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ τί δῆτ᾽ ἂν εἴη; σὺ πάλιν αὖ λόγους ἐμοὺς
what then — could-it-be you in-turn again words my
θαύμαζ᾽· ἐμοὶ γὰρ θαύματ᾽ ἐστὶ τἀπὸ σοῦ.
wonder to-me for wonders are the-things-from you
ΑΧΙΛΛΕΥΣ εἴκαζε· κοινόν ἐστιν εἰκάζειν τάδε·
guess common it-is to-guess these-things
ἄμφω γὰρ οὐ ψευδόμεθα τοῖς λόγοις ἴσως.
both for not we-lie in-the words perhaps
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ ἀλλ᾽ ἦ πέπονθα δεινά; μνηστεύω γάμους
but — I-have-suffered terrible-things I-court marriage
οὐκ ὄντας, ὡς εἴξασιν· αἰδοῦμαι τάδε.
not being as they-seem I-am-ashamed these-things
ΑΧΙΛΛΕΥΣ ἴσως ἐκερτόμησε κἀμὲ καὶ σέ τις.
perhaps mocked both-me and you someone
ἀλλ᾽ ἀμελίᾳ δὸς αὐτὰ καὶ φαύλως φέρε.
but to-neglect give them and lightly bear
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ χαῖρ᾽· οὐ γὰρ ὀρθοῖς ὄμμασίν σ᾽ ἔτ᾽ εἰσορῶ,
farewell not for with-straight eyes you still I-look-at
ψευδὴς γενομένη καὶ παθοῦσ᾽ ἀνάξια.
false having-become and having-suffered unworthy-things

ΑΧΙΛΛΕΥΣ καὶ σοὶ τόδ' ἐστὶν ἐξ ἐμοῦ· πόσιν δὲ σὸν
and to-you this is from me husband and your
στείχω ματεύσων τῶνδε δωμάτων ἔσω.
I-go to-seek of-this house within

ΠΡΕΣΒΥΤΗΣ ὦ ξέν', Αἰακοῦ γένεθλον, μεῖνον, ὦ σέ τοι λέγω, 855
O stranger of-Aeacus offspring wait O you surely I-mean
τὸν θεᾶς γεγῶτα παῖδα, καὶ σὲ τὴν Λήδας κόρην.
the of-the-goddess born child and you the of-Leda daughter

ΑΧΙΛΛΕΥΣ τίς ὁ καλῶν πύλας παροίξας; ὡς τεταρβηκὼς καλεῖ.
who the calling gates having-opened how frightened calls

ΠΡΕΣΒΥΤΗΣ δοῦλος, οὐχ ἁβρύνομαι τῷδ'· ἡ τύχη γὰρ οὐκ ἐᾷ.
slave not I-pride-myself on-this the fortune for not allows

ΑΧΙΛΛΕΥΣ τίνος; ἐμὸς μὲν οὐχί· χωρὶς τἀμὰ κἀγαμέμνονος.
whose mine indeed not apart mine and-of-Agamemnon

ΠΡΕΣΒΥΤΗΣ τῆσδε τῆς πάροιθεν οἴκων, 860
of-this-one the before house
Τυνδάρεω δόντος πατρός.
Tyndareus having-given father

ΑΧΙΛΛΕΥΣ ἔσταμεν· φράζ', εἴ τι χρῄζεις,
we-stand tell if anything you-need
ὧν μ' ἐπέσχες εἵνεκα.
for-which me you-stopped for-the-sake

ΠΡΕΣΒΥΤΗΣ ἦ μόνω παρόντε δῆτα ταῖσδ' ἐφέστατον πύλαις;
— alone present-both then at-these stand gates

ΑΧΙΛΛΕΥΣ ὡς μόνοις λέγοις ἄν,
as to-alone you-may-speak —
ἔξω δ' ἐλθὲ βασιλικῶν δόμων.
out and come of-royal house

ΠΡΕΣΒΥΤΗΣ ὦ τύχη πρόνοιά θ' ἡμή, σώσαθ' οὓς ἐγὼ θέλω.
O fortune forethought and my save whom I wish

ΑΧΙΛΛΕΥΣ ὁ λόγος εἰς μέλλοντ᾽ ἀνοίσει χρόνον·
the word into future will-carry-up time
ἔχει δ᾽ ὄγκον τινά.
has and swelling some
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ δεξιᾶς ἕκατι μὴ μέλλ᾽,
of-right-hand for-the-sake not delay
εἴ τί μοι χρῄζεις λέγειν.
if anything to-me you-wish to-say
ΠΡΕΣΒΥΤΗΣ οἶσθα δῆτά μ᾽ ὅστις ὢν σοὶ
you-know then me who being to-you
καὶ τέκνοις εὔνους ἔφυν;
and to-children well-disposed was-born
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ οἶδά σ᾽ ὄντ᾽ ἐγὼ παλαιὸν δωμάτων ἐμῶν λάτριν.
I-know you being I old of-house my servant
ΠΡΕΣΒΥΤΗΣ χὤτι μ᾽
and-that me
ἐν ταῖς σαῖσι φερναῖς ἔλαβεν Ἀγαμέμνων ἄναξ;
in the your dowry received Agamemnon lord
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ ἦλθες εἰς Ἄργος μεθ᾽ ἡμῶν
you-came to Argos with us
κἀμὸς ἦσθ᾽ ἀεί ποτε.
and-mine you-were always ever
ΠΡΕΣΒΥΤΗΣ ὧδ᾽ ἔχει. καὶ σοὶ μὲν εὔνους εἰμί,
so it-is and to-you indeed well-disposed I-am
σῷ δ᾽ ἧσσον πόσει.
to-your but less to-husband
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ ἐκκάλυπτε νῦν ποθ᾽ ἡμῖν
uncover now at-last to-us
οὕστινας στέγεις λόγους.
whatever you-conceal words

ΠΡΕΣΒΥΤΗΣ παῖδα σὴν πατὴρ ὁ φύσας
child your father the having-begotten
αὐτόχειρ μέλλει κτανεῖν.
with-own-hand is-about to-kill

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ πῶς; ἀπέπτυσ', ὦ γεραιέ, μῦθον·
how I-spit-away O old-man word
οὐ γὰρ εὖ φρονεῖς.
not for well you-think

ΠΡΕΣΒΥΤΗΣ φασγάνῳ λευκὴν φονεύων τῆς ταλαιπώρου δέρην. 875
with-sword white slaying of-the wretched throat

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ ὦ τάλαιν' ἐγώ. μεμηνὼς ἆρα τυγχάνει πόσις;
O wretched I mad then happens husband

ΠΡΕΣΒΥΤΗΣ ἀρτίφρων, πλὴν εἰς σὲ καὶ σὴν παῖδα·
sane except toward you and your child
τοῦτο δ' οὐ φρονεῖ.
this but not he-is-sane

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ ἐκ τίνος λόγου; τίς αὐτὸν οὐπάγων ἀλαστόρων;
from what word who him the-leading-on of-avengers

ΠΡΕΣΒΥΤΗΣ θέσφαθ', ὥς γέ φησι Κάλχας,
oracles as at-least says Calchas
ἵνα πορεύηται στρατός.
so-that may-go army

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ ποῖ; τάλαιν' ἐγώ, τάλαινα δ' 880
whither wretched I wretched and
ἣν πατὴρ μέλλει κτανεῖν.
whom father is-about to-kill

ΠΡΕΣΒΥΤΗΣ Δαρδάνου πρὸς δώμαθ',
of-Dardanus to house
Ἑλένην Μενέλεως ὅπως λάβῃ.
Helen Menelaus that may-take

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ εἰς ἄρ᾽ Ἰφιγένειαν Ἑλένης
to then Iphigenia of-Helen
νόστος ἦν πεπρωμένος;
return was fated

ΠΡΕΣΒΥΤΗΣ πάντ᾽ ἔχεις· Ἀρτέμιδι θύσειν παῖδα
all you-have to-Artemis to-sacrifice child
σὴν μέλλει πατήρ.
your is-about father

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ ὁ δὲ γάμος παρεῖχε πρόφασιν,
the and marriage offered pretext
ᾗ μ᾽ ἐκόμισεν ἐκ δόμων;
which me brought from house

885 ΠΡΕΣΒΥΤΗΣ ἵν᾽ ἀγάγοις χαίρουσ᾽ Ἀχιλλεῖ
so-that you-might-bring rejoicing to-Achilles
παῖδα νυμφεύσουσα σήν.
child to-give-in-marriage your

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ ὦ θύγατερ, ἥκεις ἐπ᾽ ὀλέθρῳ καὶ
O daughter you-have-come to ruin both
σὺ καὶ μήτηρ σέθεν.
you and mother of-you

ΠΡΕΣΒΥΤΗΣ οἰκτρὰ πάσχετον δύ᾽ οὖσαι·
pitiful-things you-two-suffer two being
δεινὰ δ᾽ Ἀγαμέμνων ἔτλη.
terrible-things and Agamemnon dared

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ οἴχομαι τάλαινα, δακρύων νάματ᾽ οὐκέτι στέγω.
I-am-gone wretched of-tears streams no-longer I-hold-back

ΠΡΕΣΒΥΤΗΣ εἴπερ ἀλγεινὸν τὸ τέκνων στερόμενον, δακρυρρόει.
if-indeed painful the of-children bereaved shed-tears

ΚΛΤΤΑΙΜΝΗΣΤΡΑ σὺ δὲ τάδ', ὦ γέρον,
you but these-things O old-man
πόθεν φὴς εἰδέναι πεπυσμένος;
whence do-you-say to-know having-learned
ΠΡΕΣΒΥΤΗΣ δέλτον ᾠχόμην φέρων σοι πρὸς
tablet I-went carrying to-you to
τὰ πρὶν γεγραμμένα.
the before written
ΚΛΤΤΑΙΜΝΗΣΤΡΑ οὐκ ἐῶν ἢ ξυγκελεύων παῖδ' ἄγειν θανουμένην;
not allowing or urging child to-bring to-die
ΠΡΕΣΒΥΤΗΣ μὴ μὲν οὖν ἄγειν· φρονῶν γὰρ ἔτυχε
not indeed then to-bring being-sane for happened
σὸς πόσις τότ' εὖ.
your husband then well
ΚΛΤΤΑΙΜΝΗΣΤΡΑ κᾆτα πῶς φέρων γε δέλτον
and-then how carrying at-least tablet
οὐκ ἐμοὶ δίδως λαβεῖν;
not to-me do-you-give to-take
ΠΡΕΣΒΥΤΗΣ Μενέλεως ἀφείλεθ' ἡμᾶς, ὃς κακῶν τῶνδ' αἴτιος.
Menelaus took-away us who of-evils these cause
ΚΛΤΤΑΙΜΝΗΣΤΡΑ ὦ τέκνον Νηρῇδος, ὦ παῖ Πηλέως,
O child of-Nereid O child of-Peleus
κλύεις τάδε;
do-you-hear these-things
ΑΧΙΛΛΕΥΣ ἔκλυον οὖσαν ἀθλίαν σε, τὸ δ' ἐμὸν οὐ φαύλως φέρω.
I-heard being wretched you the but mine not lightly I-bear
ΚΛΤΤΑΙΜΝΗΣΤΡΑ παῖδά μου κατακτενοῦσι σοῖς
child my they-will-kill with-your
δολώσαντες γάμοις.
having-deceived with-marriage

ΑΧΙΛΛΕΥΣ μέμφομαι κἀγὼ πόσει σῷ, κοὐχ ἁπλῶς οὕτω φέρω.
I-blame and-I husband your and-not simply so I-bear

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ οὐκ ἐπαιδεσθήσομεσθα προσπεσεῖν τὸ σὸν γόνυ,
not I-shall-be-ashamed to-fall-at the your knee

θνητὸς ἐκ θεᾶς γεγῶτα· τί γὰρ ἐγὼ σεμνύνομαι;
mortal from goddess born why for I do-I-give-myself-airs

περὶ τίνος σπουδαστέον μοι μᾶλλον ἢ τέκνου πέρι;
about what to-be-zealous for-me rather than child about

ἀλλ' ἄμυνον, ὦ θεᾶς παῖ, τῇ τ' ἐμῇ δυσπραξίᾳ
but defend O of-the-goddess child the and my misfortune

τῇ τε λεχθείσῃ δάμαρτι σῇ, μάτην μέν, ἀλλ' ὅμως.
the and called wife your in-vain indeed but nevertheless

σοὶ καταστέψασ' ἐγώ νιν ἦγον ὡς γαμουμένην,
for-you having-crowned I her led as to-be-married

νῦν δ' ἐπὶ σφαγὰς κομίζω· σοὶ δ' ὄνειδος ἵξεται,
now but to slaughter I-bring to-you but reproach will-come

ὅστις οὐκ ἤμυνας· εἰ γὰρ μὴ γάμοισιν ἐζύγης,
who not defended if for not with-marriage you-were-yoked

ἀλλ' ἐκλήθης γοῦν ταλαίνης παρθένου φίλος πόσις.
but you-were-called at-least of-wretched maiden dear husband

πρὸς γενειάδος δέ, πρὸς σῆς δεξιᾶς, πρὸς μητέρος·
by beard and by your right-hand by mother

ὄνομα γὰρ τὸ σόν μ' ἀπώλεσ', ᾧ σ' ἀμυναθεῖν χρεών.
name for the your me destroyed which you to-defend must

οὐκ ἔχω βωμὸν καταφυγεῖν ἄλλον ἢ τὸ σὸν γόνυ,
not I-have altar to-flee-to other than the your knee

οὐδὲ φίλος οὐδεὶς πελᾷ μοι· τὰ δ' Ἀγαμέμνονος κλύεις
nor friend any comes-near to-me the and of-Agamemnon you-hear

ὠμὰ καὶ πάντολμ'· ἀφῖγμαι δ', ὥσπερ εἰσορᾷς, γυνὴ
cruel and all-daring I-have-come and as you-see woman

ναυτικὸν στράτευμ᾽ ἄναρχον κἀπὶ τοῖς κακοῖς θρασύ,
naval army leaderless and-on the evils bold
χρήσιμον δ᾽, ὅταν θέλωσιν. ἢν δὲ τολμήσῃς σύ μου
useful but when they-wish if but you-dare you me
χεῖρ᾽ ὑπερτεῖναι, σεσώσμεθ᾽· εἰ δὲ μή, οὐ σεσώσμεθα.
hand to-stretch-over we-are-saved if but not not we-are-saved
ΧΟΡΟΣ δεινὸν τὸ τίκτειν καὶ φέρει φίλτρον μέγα,
terrible the to-bear-children and brings charm great
πᾶσίν τε κοινὸν ὥσθ᾽ ὑπερκάμνειν τέκνων.
to-all and common so-that to-suffer-for children
ΑΧΙΛΛΕΥΣ ὑψηλόφρων μοι θυμὸς αἴρεται πρόσω·
high-minded to-me spirit is-lifted forward
ἐπίσταται δὲ τοῖς κακοῖσί τ᾽ ἀσχαλᾶν
it-knows and at-the misfortunes and to-be-vexed
μετρίως τε χαίρειν τοῖσιν ἐξωγκωμένοις.
moderately and to-rejoice at-the exalted
λελογισμένοι γὰρ οἱ τοιοίδ᾽ εἰσὶν βροτῶν
reasoning for the such are of-mortals
ὀρθῶς διαζῆν τὸν βίον γνώμης μέτα.
rightly to-live-through the life judgment with
ἔστιν μὲν οὖν ἵν᾽ ἡδὺ μὴ λίαν φρονεῖν,
it-is indeed then where sweet not too-much to-think
ἔστιν δὲ χὤπου χρήσιμον γνώμην ἔχειν.
it-is and and-where useful judgment to-have
ἐγὼ δ᾽, ἐν ἀνδρὸς εὐσεβεστάτου τραφεὶς
I and in of-man most-pious reared
Χείρωνος, ἔμαθον τοὺς τρόπους ἁπλοῦς ἔχειν.
of-Chiron I-learned the ways simple to-have
καὶ τοῖς Ἀτρείδαις, ἢν μὲν ἡγῶνται καλῶς,
and the Atreids if indeed they-lead well

πεισόμεθ'· ὅταν δὲ μὴ καλῶς, οὐ πείσομαι.
we-shall-obey when but not well not I-shall-obey
ἀλλ' ἐνθάδ' ἐν Τροίᾳ τ' ἐλευθέραν φύσιν
but here in Troy and free nature
παρέχων, Ἄρη τὸ κατ' ἐμὲ κοσμήσω δορί.
showing Ares the as-far-as-in me I-will-adorn with-spear
σὲ δ', ὦ παθοῦσα σχέτλια πρὸς τῶν φιλτάτων,
you and O having-suffered cruel-things from the dearest
ἃ δὴ κατ' ἄνδρα γίγνεται νεανίαν,
which indeed by man are-fitting young
τοσοῦτον οἶκτον περιβαλὼν καταστελῶ,
so-much pity putting-around I-will-set-right
κοὔποτε κόρη σὴ πρὸς πατρὸς σφαγήσεται,
and-never daughter your by father shall-be-slaughtered
ἐμὴ φατισθεῖσ'· οὐ γὰρ ἐμπλέκειν πλοκὰς
mine having-been-called not for to-weave wiles
ἐγὼ παρέξω σῷ πόσει τοὐμὸν δέμας.
I will-provide to-your to-husband my body
τοὔνομα γάρ, εἰ καὶ μὴ σίδηρον ἤρατο,
the-name for if even not iron raised
τοὐμὸν φονεύσει παῖδα σήν. τὸ δ' αἴτιον,
mine will-kill child your the but cause
πόσις σός· ἁγνὸν δ' οὐκέτ' ἐστὶ σῶμ' ἐμόν,
husband yours pure and no-longer is body my
εἰ δι' ἔμ' ὀλεῖται διά τε τοὺς ἐμοὺς γάμους
if through me will-perish through and the my marriage
ἡ δεινὰ τλᾶσα κοὐκ ἀνεκτὰ παρθένος
the terrible-things having-suffered and-not endurable maiden
θαυμαστὰ δ' ὡς ἀνάξι' ἠτιμασμένη.
wondrously and how unworthily dishonored

ἐγὼ κάκιστος ἦν ἄρ' Ἀργείων ἀνήρ,
I basest was then of-Argives man
ἐγὼ τὸ μηδέν, Μενέλεως δ' ἐν ἀνδράσιν,
I the nothing Menelaus but among men
ὡς οὐχὶ Πηλέως, ἀλλ' ἀλάστορος γεγώς,
as not of-Peleus but of-avenging-spirit born
εἴπερ φονεύσει τοὐμὸν ὄνομα σῷ πόσει.
if-indeed will-murder my name for-your for-husband
μὰ τὸν δι' ὑγρῶν κυμάτων τεθραμμένον
by the through wet waves reared
Νηρέα, φυτουργὸν Θέτιδος ἥ μ' ἐγείνατο,
Nereus begetter of-Thetis who me bore
οὐχ ἅψεται σῆς θυγατρὸς Ἀγαμέμνων ἄναξ,
not will-touch your daughter Agamemnon lord
οὐδ' εἰς ἄκραν χεῖρ', ὥστε προσβαλεῖν πέπλοις·
nor to tip hand so-as to-lay-on robes
ἢ Σίπυλος ἔσται πόλις ὅρισμα βαρβάρων,
or Sipylus will-be city boundary of-barbarians
ὅθεν πεφύκασ' οἱ στρατηλάται γένος,
whence are-sprung the generals by-race
Φθίας δὲ τοὔνομ' οὐδαμοῦ κεκλήσεται.
of-Phthia and the-name nowhere will-be-named
πικροὺς δὲ προχύτας χέρνιβάς τ' ἐνάρξεται
bitter and barley lustral-waters and will-begin
Κάλχας ὁ μάντις. τίς δὲ μάντις ἔστ' ἀνήρ,
Calchas the seer what and seer is man
ὃς ὀλίγ' ἀληθῆ, πολλὰ δὲ ψευδῆ λέγει
who few true-things many but false-things says
τυχών, ὅταν δὲ μὴ τύχῃ, διοίχεται;
hitting when but not he-hits is-gone

οὐ τῶν γάμων ἕκατι — μυρίαι κόραι
not of-the marriage for-the-sake countless girls
θηρῶσι λέκτρον τοὐμόν — εἴρηται τόδε·
hunt bed my it-has-been-said this
ἀλλ' ὕβριν ἐς ἡμᾶς ὕβρισ' Ἀγαμέμνων ἄναξ·
but outrage against us outraged Agamemnon lord
χρῆν δ' αὐτὸν αἰτεῖν τοὐμὸν ὄνομ' ἐμοῦ πάρα,
it-was-right and him to-ask my name me from
θήραμα παιδός· ἡ Κλυταιμνήστρα δ' ἐμοὶ
lure of-child the Clytemnestra and to-me
μάλιστ' ἐπείσθη θυγατέρ' ἐκδοῦναι πόσει.
most was-persuaded daughter to-give to-husband
ἔδωκά τἂν Ἕλλησιν, εἰ πρὸς Ἴλιον
I-would-have-given — to-Greeks if toward Ilium
ἐν τῷδ' ἔκαμνε νόστος· οὐκ ἠρνούμεθ' ἂν
in this was-ailing return not we-would-refuse —
τὸ κοινὸν αὔξειν ὧν μέτ' ἐστρατευόμην.
the common to-increase whom with I-marched
νῦν δ' οὐδέν εἰμι παρά γε τοῖς στρατηλάταις,
now but nothing I-am among at-least the generals
ἐν εὐμαρεῖ τε δρᾶν τε καὶ μὴ δρᾶν καλῶς.
in easy and to-do both and not to-do well
τάχ' εἴσεται σίδηρος, ὃν πρὶν εἰς Φρύγας
soon will-know iron which before to Phrygians
ἐλθεῖν, φόνου κηλῖσιν αἵματος χρανῶ,
to-come of-murder with-stains of-blood I-shall-stain
εἴ τίς με τὴν σὴν θυγατέρ' ἐξαιρήσεται.
if anyone me the your daughter will-take-away
ἀλλ' ἡσύχαζε· θεὸς ἐγὼ πέφηνά σοι
but be-quiet god I have-appeared to-you

μέγιστος, οὐκ ὤν· ἀλλ᾽ ὅμως γενήσομαι.
greatest not being but nevertheless I-shall-become

ΧΟΡΟΣ ἔλεξας, ὦ παῖ Πηλέως, σοῦ τ᾽ ἄξια 975
you-spoke O child of-Peleus of-you and worthy-things

καὶ τῆς ἐναλίας δαίμονος, σεμνῆς θεοῦ.
and of-the sea divinity holy goddess

ΚΛΤΤΑΙΜΝΗΣΤΡΑ φεῦ·
alas

πῶς ἄν σ᾽ ἐπαινέσαιμι μὴ λίαν λόγοις,
how — you may-I-praise not too-much in-words

μηδ᾽ ἐνδεῶς τοῦδ᾽ ἀπολέσαιμι τὴν χάριν;
nor deficiently of-this may-I-lose the favor

αἰνούμενοι γὰρ ἀγαθοὶ τρόπον τινὰ
being-praised for the-good in-way some

μισοῦσι τοὺς αἰνοῦντας, ἢν αἰνῶσ᾽ ἄγαν. 980
hate the praisers if they-praise too-much

αἰσχύνομαι δὲ παραφέρουσ᾽ οἰκτροὺς λόγους,
I-am-ashamed and bringing-forward pitiful words

ἰδίᾳ νοσοῦσα· σὺ δ᾽ ἄνοσος κακῶν γ᾽ ἐμῶν.
privately being-sick you and unafflicted by-evils at-least my

ἀλλ᾽ οὖν ἔχει τοι σχῆμα, κἂν ἄπωθεν ᾖ
but then has surely grace even-if far be-be

ἀνὴρ ὁ χρηστός, δυστυχοῦντας ὠφελεῖν.
man the good unfortunate to-help

οἴκτειρε δ᾽ ἡμᾶς· οἰκτρὰ γὰρ πεπόνθαμεν. 985
pity and us pitiful-things for we-have-suffered

ἣ πρῶτα μέν σε γαμβρὸν οἰηθεῖσ᾽ ἔχειν,
who first indeed you son-in-law thinking to-have

κενὴν κατέσχον ἐλπίδ᾽· εἶτά σοι τάχα
empty held hope then for-you perhaps

ὄρνις γένοιτ' ἂν τοῖσι μέλλουσιν γάμοις
omen would-be — for-the coming marriage
θανοῦσ' ἐμὴ παῖς, ὅ σε φυλάξασθαι χρεών.
having-died my child which you to-guard-against must
ἀλλ' εὖ μὲν ἀρχὰς εἶπας, εὖ δὲ καὶ τέλη·
but well indeed beginnings you-spoke well and also ends
σοῦ γὰρ θέλοντος παῖς ἐμὴ σωθήσεται.
of-you for willing child my will-be-saved
βούλει νιν ἱκέτιν σὸν περιπτύξαι γόνυ;
do-you-wish her suppliant your to-clasp knee
ἀπαρθένευτα μὲν τάδ'· εἰ δέ σοι δοκεῖ,
unmaidenly indeed these-things if but to-you it-seems
ἥξει, δι' αἰδοῦς ὄμμ' ἔχουσ' ἐλεύθερον.
she-will-come with modesty eye having free
εἰ δ' οὐ παρούσης ταὐτὰ τεύξομαι σέθεν,
if but not being-present the-same I-shall-obtain from-you
μενέτω κατ' οἴκους· σεμνὰ γὰρ σεμνύνεται.
let-her-stay at home proud for pride-takes
ὅμως δ' ὅσον γε δυνατὸν αἰδεῖσθαι χρεών.
nevertheless and as-far-as at-least possible to-respect must
ΑΧΙΛΛΕΥΣ σὺ μήτε σὴν παῖδ' ἔξαγ' ὄψιν εἰς ἐμήν,
you neither your child bring-out sight into my
μήτ' εἰς ὄνειδος ἀμαθὲς ἔλθωμεν, γύναι·
nor into reproach ignorant let-us-come woman
στρατὸς γὰρ ἀθρόος ἀργὸς ὢν τῶν οἴκοθεν
army for crowded idle being of-the from-home
λέσχας πονηρὰς καὶ κακοστόμους φιλεῖ.
gossip wicked and evil-mouthed loves
πάντως δέ μ' ἱκετεύοντες ἥξετ' εἰς ἴσον,
in-any-case and me supplicating you-will-come to equal

εἴ τ᾽ ἀνικετεύτως· εἷς ἐμοὶ γάρ ἐστ᾽ ἀγὼν
if and without-supplication one for-me for is contest
μέγιστος ὑμᾶς ἐξαπαλλάξαι κακῶν.
greatest you to-release from-evils
ὡς ἕν γ᾽ ἀκούσασ᾽ ἴσθι, μὴ ψευδῶς μ᾽ ἐρεῖν· 1005
as one at-least having-heard know not falsely me to-speak
ψευδῆ λέγων δὲ καὶ μάτην ἐγκερτομῶν
false-things saying and also in-vain mocking
θάνοιμι· μὴ θάνοιμι δ᾽, ἢν σώσω κόρην.
may-I-die not may-I-die and if I-save girl

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ ὄναιο συνεχῶς δυστυχοῦντας ὠφελῶν.
may-you-be-blessed continually unfortunate helping

ΑΧΙΛΛΕΥΣ ἄκουε δή νυν, ἵνα τὸ πρᾶγμ᾽ ἔχῃ καλῶς.
hear indeed now so-that the matter may-hold well

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ τί τοῦτ᾽ ἔλεξας; ὡς ἀκουστέον γέ σου. 1010
what this you-said as must-be-heard at-least from-you

ΑΧΙΛΛΕΥΣ πείθωμεν αὖθις πατέρα βέλτιον φρονεῖν.
let-us-persuade again father better to-think

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ κακός τίς ἐστι καὶ λίαν ταρβεῖ στρατόν.
coward someone is and too-much fears army

ΑΧΙΛΛΕΥΣ ἀλλ᾽ οἱ λόγοι γε καταπαλαίουσιν φόβους.
but the words at-least wrestle-down fears

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ ψυχρὰ μὲν ἐλπίς· ὅ τι δὲ χρή με δρᾶν φράσον.
cold indeed hope what — and must me to-do tell

ΑΧΙΛΛΕΥΣ ἱκέτευ᾽ ἐκεῖνον πρῶτα μὴ κτείνειν τέκνα· 1015
supplicate him first not to-kill children
ἢν δ᾽ ἀντιβαίνῃ, πρὸς ἐμέ σοι πορευτέον.
if and he-resists to me you must-go
εἰ γὰρ τὸ χρῄζον ἐπίθετ᾽, οὐ τοὐμὸν χρεὼν
if for the needful should-succeed not my must

χωρεῖν· ἔχει γὰρ τοῦτο τὴν σωτηρίαν.
to-go has for this the safety
κἀγώ τ' ἀμείνων πρὸς φίλον γενήσομαι,
and-I and better toward friend shall-be
στρατός τ' ἂν οὐ μέμψαιτό μ', εἰ τὰ πράγματα
army and — not would-blame me if the affairs
λελογισμένως πράσσοιμι μᾶλλον ἢ σθένει.
reasonably I-should-do rather than by-force
καλῶς δὲ κρανθέντων πρὸς ἡδονὴν φίλοις
well and accomplished to pleasure for-friends
σοί τ' ἂν γένοιτο κἂν ἐμοῦ χωρὶς τάδε.
to-you and — might-be even-if me apart these-things
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ ὡς σώφρον' εἶπας. δραστέον δ' ἃ σοι δοκεῖ.
how prudent-things you-said to-be-done and what to-you seems
ἢν δ' αὖ τι μὴ πράσσωμεν ὧν ἐγὼ θέλω,
if and again something not we-achieve of-what I wish
ποῦ σ' αὖθις ὀψόμεσθα; ποῖ χρή μ' ἀθλίαν
where you again shall-we-see where must me wretched
ἐλθοῦσαν εὑρεῖν σὴν χέρ' ἐπίκουρον κακῶν;
having-come to-find your hand helper of-evils
ΑΧΙΛΛΕΥΣ ἡμεῖς σε φύλακες οὗ χρεὼν φυλάξομεν,
we you guards where must we-shall-guard
μή τίς σ' ἴδῃ στείχουσαν ἐπτοημένην
lest anyone you see going distraught
Δαναῶν δι' ὄχλου· μηδὲ πατρῷον δόμον
of-Danaans through crowd nor paternal house
αἴσχυν'· ὁ γάρ τοι Τυνδάρεως οὐκ ἄξιος
disgrace the for surely Tyndareus not worthy
κακῶς ἀκούειν· ἐν γὰρ Ἕλλησιν μέγας.
badly to-be-spoken-of among for Greeks great

ΚΑΤΤΑΙΜΝΗΣΤΡΑ ἔσται τάδ'. ἄρχε· σοί με δουλεύειν χρεών.
it-will-be these-things command to-you me to-serve must
εἰ δ' εἰσὶ θεοί, δίκαιος ὢν ἀνήρ, θεῶν
if and are gods just being man of-gods
ἐσθλῶν κυρήσεις· εἰ δὲ μή, τί δεῖ πονεῖν; 1035
good-things you-will-meet if and not why must to-toil

VIII · THE WEDDING OF PELEUS

The chorus sings of the wedding of Peleus and Thetis on Pelion: the Muses singing, Ganymede pouring the wine, the Nereids dancing on the shore, the Centaurs come to the feast, and Chiron foretelling that Thetis would bear Achilles, who would burn Priam's land. But Iphigenia, the chorus says, will be crowned like a heifer for slaughter. Where now is the power of shame or virtue, when impiety rules and men do not fear the gods' resentment?

ΧΟΡΟΣ τίς ἄρ' ὑμέναιος διὰ λωτοῦ Λίβυος
what then wedding-song through flute Libyan
μετά τε φιλοχόρου κιθάρας
with and dance-loving lyre
συρίγγων θ' ὑπὸ καλαμοεσ-
of-pipes and with reedy
σᾶν ἔστασεν ἰαχάν,
— set-up cry
ὅτ' ἀνὰ Πήλιον αἱ καλλιπλόκαμοι 1040
when on Pelion the fair-tressed
Πιερίδες παρὰ δαιτὶ θεῶν
Pierians at feast of-gods
χρυσεοσάνδαλον ἴχνος
golden-sandaled step

ἐν γᾷ κρούουσαι
on earth striking
Πηλέως εἰς γάμον ἦλθον,
of-Peleus to marriage came
μελῳδοῖς Θέτιν ἀχήμασι τόν τ' Αἰακίδαν
with-melodious Thetis with-sounds the and Aeacid
Κενταύρων ἀν' ὄρος κλέουσαι
of-Centaurs on mountain celebrating
Πηλιάδα καθ' ὕλαν.
Pelian through wood
ὁ δὲ Δαρδανίδας, Διὸς
the and Dardanid of-Zeus
λέκτρων τρύφημα φίλον,
of-bed delight dear
χρυσέοισιν ἄφυσσε λοιβὰν
golden drew libation
ἐν κρατήρων γυάλοις,
in of-bowls hollows
ὁ Φρύγιος Γανυμήδης.
the Phrygian Ganymede
παρὰ δὲ λευκοφαῆ ψάμαθον
by and white-gleaming sand
εἱλισσόμεναι κύκλια
whirling circling
πεντήκοντα κόραι γάμους
fifty daughters marriage
Νηρέως ἐχόρευσαν.
of-Nereus danced
ἀνὰ δ' ἐλάταισι στεφανώδει τε χλόᾳ
on and with-pines garlanded and with-green

θίασος ἔμολεν ἱπποβάτας
band came horse-riding
Κενταύρων ἐπὶ δαῖτα τὰν
of-Centaurs to feast the
θεῶν κρατῆρά τε Βάκχου.
of-gods bowl and of-Bacchus
μέγα δ' ἀνέκλαγον· ὦ Νηρηὶ κόρα,
greatly and cried O Nereid daughter
παῖδα σὲ Θεσσαλίᾳ μέγα φῶς
child you to-Thessaly great light
μάντις ὁ φοιβάδα μοῦσαν
seer the Phoebean music
εἰδὼς γεννάσειν
knowing to-bear
Χείρων ἐξονόμαζεν,
Chiron named
ὃς ἥξει χθόνα λογχήρεσι σὺν Μυρμιδόνων
who will-come to-land spearmen with of-Myrmidons
ἀσπισταῖς Πριάμοιο κλεινὰν
shield-bearers of-Priam famous
γαῖαν ἐκπυρώσων,
land to-burn-up
περὶ σώματι χρυσέων
around body golden
ὅπλων Ἡφαιστοπόνων
of-arms Hephaestus-wrought
κεκορυθμένος ἔνδυτ', ἐκ θεᾶς
helmeted garments from goddess
ματρὸς δωρήματ' ἔχων
of-mother gifts having

Θέτιδος, ἅ νιν ἔτικτε.
of-Thetis who him bore
μακάριον τότε δαίμονες
blessed then the-gods
τᾶς εὐπάτριδος γάμον
of-the nobly-born marriage
Νηρήδων ἔθεσαν πρώτας
of-Nereids made first
Πηλέως θ' ὑμεναίους.
of-Peleus and wedding-songs
σὲ δ' ἐπὶ κάρα στέψουσι καλλικόμαν
you but on head will-crown fair-haired
πλόκαμον Ἀργεῖοι, βαλιὰν
lock Argives dappled
ὥστε πετραίων ἀπ' ἄντρων ἐλθοῦσαν ὀρέων
like rocky from caves having-come of-mountains
μόσχον ἀκήρατον, βρότειον
heifer unblemished mortal
αἱμάσσοντες λαιμόν·
bloodying throat
οὐ σύριγγι τραφεῖσαν, οὐδ'
not with-pipe reared nor
ἐν ῥοιβδήσεσι βουκόλων.
amid whistlings of-herdsmen
παρὰ δὲ ματέρι νυμφοκόμον
by and mother bride-attendant
Ἰναχίδαις γάμον.
for-Inachids marriage
ποῦ τὸ τᾶς αἰδοῦς
where the of-the modesty

ἢ τὸ τᾶς ἀρετᾶς ἔχει
or the of-the virtue has
σθένειν τι πρόσωπον;
to-prevail any face
ὁπότε τὸ μὲν ἄσεπτον ἔχει
when the indeed impious has
δύνασιν, ἁ δ' ἀρετὰ κατόπι-
power the but virtue behind
σθεν θνατοῖς ἀμελεῖται,
— by-mortals is-neglected
ἀνομία δὲ νόμων κρατεῖ.
lawlessness and laws rules
καὶ μὴ κοινὸς ἀγὼν βροτοῖς
and not common contest for-mortals
μή τις θεῶν φθόνος ἔλθῃ.
lest any of-gods jealousy come

IX · CLYTEMNESTRA AND IPHIGENIA PLEAD

Clytemnestra confronts Agamemnon, and his silence confesses it. She reminds him that he married her by force after killing her first husband and her child, and asks why Menelaus' daughter Hermione should not die instead. Iphigenia pleads: she has only her tears, and life is sweet. Agamemnon answers that he loves his children, but Hellas demands it, for the army is mad to sail.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ ἐξῆλθον οἴκων προσκοπουμένη πόσιν,
I-came-out of-house looking-for husband
χρόνιον ἀπόντα κἀκλελοιπότα στέγας.
long absent and-having-left house
ἐν δακρύοισι δ' ἡ τάλαινα παῖς ἐμή,
in tears and the wretched child my

πολλὰς ἱεῖσα μεταβολὰς ὀδυρμάτων,
many uttering changes of-laments
θάνατον ἀκούσασ', ὃν πατὴρ βουλεύεται.
death having-heard which father plans
μνήμην δ' ἄρ' εἶχον πλησίον βεβηκότος
mention and then I-had near having-come
Ἀγαμέμνονος τοῦδ', ὃς ἐπὶ τοῖς αὐτοῦ τέκνοις
of-Agamemnon this-one who against the his-own children
ἀνόσια πράσσων αὐτίχ' εὑρεθήσεται.
unholy-things doing at-once will-be-found

ΑΓΑΜΕΜΝΩΝ Λήδας γένεθλον, ἐν καλῷ σ' ἔξω δόμων
of-Leda offspring in good-time you outside house
ηὕρηχ', ἵν' εἴπω παρθένου χωρὶς λόγους
I-have-found so-that I-may-speak maiden apart words
οὓς οὐκ ἀκούειν τὰς γαμουμένας πρέπει.
which not to-hear the being-married befits

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ τί δ' ἔστιν, οὗ σοι καιρὸς ἀντιλάζυται;
what and is-it of-which for-you the-moment takes-hold

ΑΓΑΜΕΜΝΩΝ ἔκπεμπε παῖδα δωμάτων πατρὸς μέτα·
send-forth child of-house father with
ὡς χέρνιβες πάρεισιν ηὐτρεπισμέναι,
since lustral-waters are-present prepared
προχύται τε βάλλειν πῦρ καθάρσιον χεροῖν.
barley and to-throw fire purifying with-hands
μόσχοι τε, πρὸ γάμων ἃς θεᾷ πεσεῖν χρεὼν
heifers and before marriage which to-goddess to-fall must
Ἀρτέμιδι, μέλανος αἵματος φυσήματα.
to-Artemis of-black blood spurts

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ τοῖς ὀνόμασιν μὲν εὖ λέγεις, τὰ δ' ἔργα σου
in-the names indeed well you-speak the but deeds of-you
οὐκ οἶδ' ὅπως χρή μ' ὀνομάσασαν εὖ λέγειν.
not I-know how must me naming well to-speak
χώρει δὲ θύγατερ ἐκτός, οἶσθα γὰρ πατρὸς
come and daughter outside you-know for of-father
πάντως ἃ μέλλει, χὐπὸ τοῖς πέπλοις ἄγε
wholly what he-intends and-under the robes lead
λαβοῦσ' Ὀρέστην σὸν κασίγνητον, τέκνον.
having-taken Orestes your brother child
ἰδοὺ πάρεστιν ἥδε πειθαρχοῦσά σοι.
see is-present she obeying you
τὰ δ' ἄλλ' ἐγὼ πρὸ τῆσδε κἀμαυτῆς φράσω.
the and rest I for her and-myself will-speak
ΑΓΑΜΕΜΝΩΝ τέκνον, τί κλαίεις, οὐδ' ἔθ' ἡδέως ὁρᾷς,
child why do-you-weep nor any-longer gladly do-you-see
εἰς γῆν δ' ἐρείσασ' ὄμμα πρόσθ' ἔχεις πέπλους;
to earth but having-fixed eye before you-hold robes
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ φεῦ·
alas
τίν' ἂν λάβοιμι τῶν ἐμῶν ἀρχὴν κακῶν;
what — should-I-take of-the my beginning of-evils
ἅπασι γὰρ πρώτοισι χρήσασθαι πάρα
all for as-first to-use it-is-possible
ΑΓΑΜΕΜΝΩΝ τί δ' ἔστιν; ὡς μοι πάντες εἰς ἓν ἥκετε,
what and is-it how to-me all to one you-come
σύγχυσιν ἔχοντες καὶ ταραγμὸν ὀμμάτων.
confusion having and disorder of-eyes
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ εἴφ' ἂν ἐρωτήσω σε γενναίως, πόσι.
tell what I-shall-ask you nobly husband

ΑΓΑΜΕΜΝΩΝ οὐδὲν κελευσμοῦ δεῖ μ'· ἐρωτᾶσθαι θέλω.
nothing of-bidding is-need me to-be-asked I-wish

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ τὴν παῖδα τὴν σὴν
the child the your
τήν τ' ἐμὴν μέλλεις κτανεῖν;
the and mine are-you-about to-kill

ΑΓΑΜΕΜΝΩΝ ἔα·
ha
τλήμονά γ' ἔλεξας, ὑπονοεῖς θ' ἃ μή σε χρή.
wretched-things at-least you-said you-suspect and what not you must

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ ἔχ' ἥσυχος,
keep quiet
κἀκεῖνό μοι τὸ πρῶτον ἀπόκριναι πάλιν.
and-that to-me the first answer again

ΑΓΑΜΕΜΝΩΝ σὺ δ' ἤν γ' ἐρωτᾷς εἰκότ', εἰκότ' ἂν κλύοις.
you but if at-least you-ask fair fair — you-would-hear

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ οὐκ ἄλλ' ἐρωτῶ, καὶ σὺ μὴ λέγ' ἄλλα μοι.
not other-things I-ask and you not speak other-things to-me

ΑΓΑΜΕΜΝΩΝ ὦ πότνια μοῖρα καὶ τύχη δαίμων τ' ἐμός.
O lady fate and fortune fate and my

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ κἀμός γε καὶ τῆσδ' εἷς τριῶν δυσδαιμόνων.
and-mine at-least and of-her one of-three ill-fated

ΑΓΑΜΕΜΝΩΝ τίν' ἠδίκησα; ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ τοῦτ' ἐμοῦ πεύθει πάρα;
whom have-I-wronged this me do-you-ask from
ὁ νοῦς ὅδ' αὐτὸς νοῦν ἔχων οὐ τυγχάνει.
the mind this itself mind having not happens

ΑΓΑΜΕΜΝΩΝ ἀπωλόμεσθα. προδέδοται τὰ κρυπτά μου.
we-are-ruined are-betrayed the secrets my

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ πάντ᾽ οἶδα καὶ πεπύσμεθ᾽ ἃ
all I-know and we-have-learned what
σὺ μέλλεις με δρᾶν·
you are-about me to-do
αὐτὸ δὲ τὸ σιγᾶν ὁμολογοῦντός ἐστί σου
itself and the to-be-silent of-one-confessing is of-you
καὶ τὸ στενάζειν πολλά. μὴ κάμῃς λέγων.
and the to-groan much not grow-weary speaking
ΑΓΑΜΕΜΝΩΝ ἰδοὺ σιωπῶ· τὸ γὰρ ἀναίσχυντον τί δεῖ
see I-am-silent the for shameless why must
ψευδῆ λέγοντα προσλαβεῖν τῇ συμφορᾷ;
false-things saying to-add to-the misfortune
ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ ἄκουε δή νυν, ἀνακαλύψω γὰρ λόγους,
hear indeed now I-will-uncover for words
κοὐκέτι παρῳδοῖς χρησόμεσθ᾽ αἰνίγμασιν.
and-no-longer with-oblique we-shall-use with-riddles
πρῶτον μέν, ἵνα σοι πρῶτα τοῦτ᾽ ὀνειδίσω,
first indeed so-that to-you first this I-may-reproach
ἔγημας ἄκουσάν με κἄλαβες βίᾳ,
you-married unwilling me and-took by-force
τὸν πρόσθεν ἄνδρα Τάνταλον κατακτανών,
the former husband Tantalus having-killed
βρέφος τε τοὐμὸν ζῶν προσούδισας πέδῳ,
babe and my living you-dashed to-ground
μαστῶν βιαίως τῶν ἐμῶν ἀποσπάσας.
from-breasts violently the my having-torn
καὶ τὼ Διός τε παῖδ᾽ ἐμώ τε συγγόνω
